# T5 Πολύφημος, 2. Teil als docx

Apollodor 7.07 ff. unverändert



1 [7.07] Ὀδυσσεὺς δὲ εὑρὼν ῥόπαλον κείμενον σὺν τέσσαρσιν ἑταίροις
ἀπώξυνε καὶ πυρώσας ἐξετύφλωσεν αὐτόν.

2 ἐπιβοωμένου δὲ Πολυφήμου τοὺς πέριξ Κύκλωπας,
παραγενόμενοι ἐπηρώτων, τίς αὐτὸν ἀδικεῖ.

3 τοῦ δὲ εἰπόντος Οὖτις,
νομίσαντες αὐτὸν λέγειν ὑπὸ μηδενός ἀνεχώρησαν.

4 [7.08] ἐπιζητούντων δὲ τῶν ποιμνίων τὴν συνήθη νομήν,
ἀνοίξας καὶ ἐπὶ τοῦ προθύρου στὰς
τὰς χεῖρας ἐκπετάσας ἐψηλάφα τὰ ποίμνια.



5 Ὀδυσσεὺς δὲ τρεῖς κριοὺς ὁμοῦ συνδέων καὶ αὐτὸς τῷ μείζονι ὑποδύς,
ὑπὸ τὴν γαστέρα κρυφθείς, σὺν τοῖς ποιμνίοις ἐξῆλθε,

6 καὶ λύσας τοὺς ἑταίρους τῶν ποιμνίων,
ἐπὶ τὰς ναῦς ἐλάσας ἀποπλέων ἀνεβόησε Κύκλωπι
ὡς Ὀδυσσεὺς εἴη καὶ ἐκπεφεύγοι[1] [284] τὰς ἐκείνου χεῖρας.



7 [7.09] ἦν δὲ λόγιον Κύκλωπι εἰρημένον ὑπὸ μάντεως
τυφλωθῆναι ὑπὸ Ὀδυσσέως.

8 καὶ μαθὼν τὸ ὄνομα
πέτρας ἀποσπῶν ἠκόντιζεν εἰς τὴν θάλασσαν,

9 μόλις δὲ ἡ ναῦς σώζεται πρὸς τὰς πέτρας.

10 ἐκ τούτου δὲ μηνίει Ποσειδῶν Ὀδυσσεῖ.

11 [7.10] ἀναχθεὶς δὲ συμπάσαις ναυσὶ
παραγίνεται εἰς Αἰολίαν νῆσον, ἧς ὁ βασιλεὺς ἦν Αἴολος.

12 οὗτος ἐπιμελητὴς ὑπὸ Διὸς τῶν ἀνέμων καθεστήκει[2] καὶ παύειν καὶ προΐεσθαι.

13 ὃς ξενίσας Ὀδυσσέα δίδωσιν αὐτῷ ἀσκὸν βόειον,
ἐν ᾧ κατέδησε τοὺς ἀνέμους,
ὑποδείξας οἷς δεῖ χρῆσθαι πλέοντα,
τοῦτον ἐν τῷ σκάφει καταδήσας.



14 ὁ δὲ Ὀδυσσεὺς ἐπιτηδείοις ἀνέμοις χρώμενος εὐπλοεῖ,
καὶ πλησίον Ἰθάκης ὑπάρχων
ἤδη τὸν ἀναφερόμενον ἐκ τῆς πόλεως καπνὸν ἰδὼν ἐκοιμήθη.

15 [7.11] οἱ δὲ ἑταῖροι νομίζοντες χρυσὸν ἐν τῷ ἀσκῷ κομίζειν αὐτόν,
λύσαντες τοὺς ἀνέμους ἐξαφῆκαν,

16 καὶ πάλιν εἰς τοὐπίσω παρεγένοντο ὑπὸ τῶν πνευμάτων ἁρπασθέντες.

17 Ὀδυσσεὺς δὲ ἀφικόμενος πρὸς Αἴολον ἠξίου πομπῆς τυχεῖν,
ὁ δὲ αὐτὸν ἐκβάλλει τῆς νήσου
λέγων ἀντιπρασσόντων τῶν θεῶν μὴ δύνασθαι σώζειν.

---

[1] εἴη καὶ ἐκπεφεύγοι: oblique (ind. Rede) Optative der 3.Sg., εἴη von εἰμί, ἐκπεφεύγοι von ἐκφεύγω im Perfekt

[2] καθεστήκει: 3.Sg.Plqupf. von καθίσταμαι „war eingesetzt worden“